LUCIANO

Δίκη Συμφώνων

(τοῦ Σίγμα πρὸς τὸ Ταῦ ὑπὸ τοῖς ἑπτὰ φωνήεσιν)

PLEITO ENTRE CONSONANTES: LA «SIGMA» CONTRA LA «TAU» EN EL TRIBUNAL DE LAS SIETE VOCALES

TRADUCCIÓN Y NOTAS POR ANDRÉS ESPINOSA ALARCÓN
La traducción de este volumen ha sido revisada por ALFONSO MARTÍNEZ DÍEZ
Textos griegos de Luciano:
http://www.kairatos.com.gr/arxaioi/simpiesm.htm

PLEITO ENTRE CONSONANTES: LA «SIGMA» CONTRA LA «TAU» EN EL TRIBUNAL DE LAS SIETE VOCALES

Δίκη Συμφώνων (τοῦ Σίγμα πρὸς τὸ Ταῦ ὑπὸ τοῖς ἑπτὰ φωνήεσιν)

Lis Consonantium (or Iudicium Vocalium)

Esta obra, junto con *El pseudosofista o El solecista, El falso razonador, El maestro de retórica* y el *Lexífanes,* integra un grupo de escritos en los que se abordan cuestiones gramaticales y estilísticas, con datos interesantes (aunque de peligrosa interpretación, dado el prurito normativista de los rétores) para nosotros acerca de la pronunciación de su tiempo, así como de las exigencias aticistas de corrección idiomática.

El pequeño juguete literario reviste la forma de discurso forense, y es inevitable recordar los años en que Luciano ejerciera con poca fortuna la abogacía. Al parecer, le cupo en suerte influir sobre el *Discurso a los griegos,* de TACIANO el asirio, compatriota de nuestro autor (cf. c. 26 de dicha obra), aunque tambien podría suponerse, a la inversa, que fue Taciano la fuente lucianesca, lo que por razones cronológicas propone SCHWARTZ (*Biographie de Lucien de Samosate,* Bruselas, 1965, pág. 31), situando la obra del primero tras 165 d. C., y la de Luciano unos diez años después.

Hábilmente, con graciosos ejemplos de términos trastocados, Luciano fustiga a los pretenciosos aticistas que basaban todo su saber en cambiar los grupos sigmáticos en otros con doble *tau,* para terminar sorprendiendo al lector con una conclusión tan genial como inesperada: el pretendido castigo propuesto para la *tau*.



PLEITO ENTRE CONSONANTES: LA «SIGMA» CONTRA LA «TAU» EN EL TRIBUNAL DE LAS SIETE VOCALES

Δίκη Συμφώνων (τοῦ Σίγμα πρὸς τὸ Ταῦ ὑπὸ τοῖς ἑπτὰ φωνήεσιν)

Lis Consonantium (or Iudicium Vocalium)

1 Ἐπὶ ἄρχοντος Ἀριστάρχου Φαληρέως, Πυανεψιῶνος ἑβδόμῃ ἱσταμένου, γραφὴν ἔθετο τὸ Σῖγμα πρὸς τὸ Ταῦ ἐπὶ τῶν ἑπτὰ Φωνηέντων βίας καὶ ὑπαρχόντων ἁρπαγῆς, ἀφῃρῆσθαι λέγον πάντων τῶν ἐν διπλῷ ταῦ ἐκφερομένων.

1 [En el arcontado de Aristarco de Falero[1], en el séptimo día del mes de Pianepsión[2], la Sigma presentó demanda contra la Tau ante las Siete Vocales[3] por violencia y robo de bienes, alegando haber sido desposeída de todas las palabras que llevan doble *tau].*

2 Μέχρι μέν, ὦ Φωνήεντα δικασταί, ὀλίγα ἠδικούμην ὑπὸ τουτουὶ τοῦ Ταῦ καταχρωμένου τοῖς ἐμοῖς καὶ καταίροντος ἔνθα μὴ δεῖ, οὐ βαρέως ἔφερον τὴν βλάβην καὶ παρήκουον ἔνια τῶν λεγομένων ὑπὸ τῆς μετριότητος, ἣν ἴστε με φυλάσσοντα πρός τε ὑμᾶς καὶ τὰς ἄλλας συλλαβάς· ἐπεὶ δὲ ἐς τοσοῦτον ἥκει πλεονεξίας τε καὶ ἀνομίας, ὥστε ἐφ᾽ οἷς ἡσύχασα πολλάκις οὐκ ἀγαπῶν, ἄλλ᾽ ἤδη καὶ πλείω προσβιάζεται, ἀναγκαίως αὐτὸ εὐθύνω νῦν παρὰ τοῖς ἀμφότερα εἰδόσιν ὑμῖν. δέος δὲ οὐ μικρόν μοι ἐπὶ τούτοις τῆς ἀποθλίψεως ἐπέρχεται τῆς ἐμαυτοῦ· τοῖς γὰρ προπεπραγμένοις ἀεί τι μεῖζον προστιθὲν ἄρδην με τῆς οἰκείας ἀποθλίψει χώρας, ὡς ὀλίγου δεῖν ἡσυχίαν ἀγαγόντα μηδὲ ἐν γράμμασιν ἀριθμεῖσθαι, ἐν ἴσῳ δὲ κεῖσθαι τοῦ ψόφου.

2 Vocales del jurado, mientras sufría pequeños agravios de parte de la Tau, aquí presente, que usurpaba mis pertenencias y se asentaba donde no debía, no me era difícil soportar tal menoscabo y pasaba por alto algunas palabras que oía, gracias a la moderación que, como sabéis, observo frente a vosotras y las demás letras. Pero ahora que ha llegado a tal grado de codicia e ilegalidad que, no satisfecha con cuanto yo toleré muchas veces, intenta arrebatarme aún más por la fuerza, me veo obligada a exigirle cuentas ante vosotras, que conocéis a ambas partes. Por encima de todo, me asalta un temor no pequeño ante mi posible expulsión; pues si a las anexiones ya consumadas sigue añadiendo siempre otras mayores me expulsará totalmente de mi propio territorio, de modo que si permanezco inactiva pronto no seré contada ni siquiera entre las letras, y quedaré en el mismo plano que un silbido.

3 Δίκαιον οὖν οὐχ ὑμᾶς, οἳ δικάζετε νῦν, ἀλλὰ καὶ τὰ λοιπὰ γράμματα τῆς πείρας ἔχειν τινὰ φυλακήν· εἰ γὰρ ἐξέσται τοῖς βουλομένοις ἀπὸ τῆς καθ᾽ αὑτὰ τάξεως ἐς ἀλλοτρίαν βιάζεσθαι καὶ τοῦτο ἐπιτρέψετε ὑμεῖς, ὧν χωρὶς οὐδὲν

3 Justo es, pues, que vosotras, que ahora actuáis como jueces, y todas las demás letras os guardéis de alguna manera de esta maquinación, porque si es dado a cualquiera ejercer violencia desde su propio puesto contra el ajeno, y vosotras, Vocales —sin cuyo

---

[1] Arconte imaginario. La gran reforma ortográfica se efectuó en Atenas en el 403 a. C., bajo el arcontado de Euclides.

[2] Mes correspondiente a nuestro octubre, aproximadamente.

[3] Remedo del ateniense Tribunal del Areópago.

καθόλου τι γράφεται, οὐχ ὁρῶ τίνα τρόπον αἱ συντάξεις τὰ νόμιμα, ἐφ᾽ οἷς ἐτάχθη τὰ κατ᾽ ἀρχάς, ἕξουσιν. ἀλλ᾽ οὔτε ὑμᾶς οἶμαί ποτε ἐς τοσοῦτον ἀμελείας τε καὶ παροράσεως ἥξειν, ὥστε ἐπιτρέψαι τινὰ μὴ δίκαια, οὔτε, εἰ καθυφήσετε τὸν ἀγῶνα ὑμεῖς, ἐμοὶ παραλειπτέον ἐστὶν ἀδικουμένῳ.

concurso nada absolutamente puede escribirse—, lo toleráis, no veo cómo las construcciones gramaticales mantendrán las formas correctas según se establecieron en un principio. Mas no creo que hayáis llegado a tal extremo de negligencia e imprevisión, que permitáis algo injusto; ni que, aunque vosotras os desentendierais del juicio, pueda abandonárseme con mis agravios.

4 ὡς εἴθε καὶ τῶν ἄλλων ἀνεκόπησαν τότε αἱ τόλμαι εὐθὺς ἀρξαμένων παρανομεῖν, καὶ οὐκ ἂν ἐπολέμει μέχρι νῦν τὸ Λάμβδα τῷ Ῥῶ διαμφισβητοῦν περὶ τῆς κισήρεως καὶ κεφαλαργίας, οὔτε τὸ Γάμμα τῷ Κάππα διηγωνίζετο καὶ ἐς χεῖρας μικροῦ δεῖν ἤρχετο πολλάκις ἐν τῷ γναφείῳ ὑπὲρ γναφάλλων, ἐπέπαυτο δ᾽ ἂν καὶ πρὸς τὸ Λάμβδα μαχόμενον, τὸ μόγις ἀφαιρούμενον αὐτοῦ καὶ μάλιστα παρακλέπτον, καὶ τὰ λοιπὰ δ᾽ ἂν ἠρέμει συγχύσεως ἄρχεσθαι παρανόμου· καλὸν γὰρ ἕκαστον μένειν ἐφ᾽ ἧς τετύχηκε τάξεως· τὸ δὲ ὑπερβαίνειν ἐς ἃ μὴ χρὴ λύοντός ἐστι τὸ δίκαιον.

4 ¡Ojalá se hubiera puesto término a las osadías de los demás tan pronto como se originaron! Así no habría luchado hasta ahora la Lambda contra la Rho disputándose la pronunciación de «piedra pómez»[4] y «dolor de cabeza»[5], ni la Gamma se habría enfrentado con la Kappa y habrían estado a punto de llegar a las manos muchas veces por el término «taller de cardador»[6] o «relleno de almohada»[7]; y habría cesado también en su lucha con la Lambda, al arrebatarle «difícilmente»[8] y hurtarle «muchísimo»[9]; y las restantes letras se habrían abstenido de iniciar una confusión ilegal. Pues lo correcto es que cada una permanezca en el lugar que le corresponde, ya que rebasar los límites hasta el terreno indebido es propio de un infractor.

5 καὶ ὅ γε πρῶτος ἡμῖν τοὺς νόμους τούτους διατυπώσας, εἴτε Κάδμος ὁ νησιώτης εἴτε Παλαμήδης ὁ Ναυπλίου, καὶ Σιμωνίδῃ δὲ ἔνιοι προσάπτουσι τὴν προμήθειαν ταύτηνοὐ τῇ τάξει μόνον, καθ᾽ ἣν αἱ προεδρίαι βεβαιοῦνται, διώρισαν, τί πρῶτον ἔσται ἢ δεύτερον, ἀλλὰ καὶ ποιότητας, ἃς ἕκαστον ἡμῶν

5 El primero que dio forma a estas leyes para nosotras —ya fuera Cadmo[10] el isleño o Palamedes, hijo de Nauplio (y algunos atribuyen esta providencia a Simónides)— no sólo nos delimitó el orden en que se basan nuestras prelaciones —es decir, quién estaría antes o después—, sino que, asimismo, consideró las cualidades y poderes que cada

[4] *kísēlis* / *kísēris.*
[5] *kephalalgía* / *kephalargía.*
[6] *gnapheîon* / *knapheîon.*
[7] *gnáphalla* / *knáphalla.*
[8] *mólis* / *mógis.*
[9] *málista* / *mágista.*
[10] Según la leyenda, Cadmo (llamado *el isleño* por suponérsele de Tiro, y no de Sidón) aportó dieciséis letras de su tierra a Tebas, a las que Palamedes añadió cuatro, y el naturalista Simónides de Siracusa otras cuatro.

ἔχει, καὶ δυνάμεις συνεῖδον. καὶ ὑμῖν μέν, ὦ δικασταί, τὴν μείζω δεδώκασι τιμήν, ὅτι καθ᾽ αὑτὰ δύνασθε φθέγγεσθαι, ἡμιφώνοις δὲ τὴν ἐφεξῆς, ὅτι προσθήκης εἰς τὸ ἀκουσθῆναι δεῖται· πασῶν δὲ ἐσχάτην ἐνόμισαν ἔχειν μοῖραν ἐννέα τῶν πάντων, οἷς οὐδὲ φωνὴ πρόσεστι καθ᾽ αὑτά. τὰ μὲν οὖν φωνήεντα φυλάσσειν ἔοικε τοὺς νόμους τούτους.

una de nosotras tiene. Y a vosotras, jueces, os han conferido el máximo honor[11], porque podéis sonar por vosotras mismas; a las semivocales, el siguiente grado, porque precisan de una adición para ser oídas; y determinaron que el último lugar entre todas correspondiera a las nueve letras que no tienen sonido alguno en sí mismas[12]. Es lógico, por tanto, que las Vocales velen por estas leyes.

6 Τὸ δέ γε Ταῦ τοῦτο, οὐ γὰρ ἔχω χείρονι αὐτὸ ὀνομάσαι ῥήματι ἢ ᾧ καλεῖται, ὃ μὰ τοὺς θεούς, εἰ μὴ ἐξ ὑμῶν δύο συνῆλθον ἀγαθοὶ καὶ καθήκοντες ὁραθῆναι, τό τε Ἄλφα καὶ τὸ Υ̓͂, οὐκ ἂν ἠκούσθη μόνον, τοῦτο τοίνυν ἐτόλμησεν ἀδικεῖν με πλείω τῶν πώποτε βιασαμένων, ὀνομάτων μὲν καὶ ῥημάτων ἀπελάσαν πατρῴων, ἐκδιῶξαν δὲ ὁμοῦ συνδέσμων ἅμα καὶ προθέσεων, ὡς μηκέτι φέρειν τὴν ἔκτοπον πλεονεξίαν. ὅθεν δὲ καὶ ἀπὸ τίνων ἀρξάμενον, ὥρα λέγειν.

6 Pero esa Tau que veis —no puedo llamarla con un nombre peor que el suyo propio, que, por los dioses, no se oiría siquiera si no concurrierais en él dos nobles y hermosas vocales, Alfa e Ypsilón— ha osado agraviarme superando todos los precedentes de violencia, desplazándome no ya de nombres y verbos hereditarios, sino desterrándome, igualmente, de conjunciones y preposiciones a un tiempo, hasta el extremo de no poder ya seguir soportando su exorbitante codicia. Desde cuándo y cómo comenzó, hora es ya de decíroslo.

7 Ἐπεδήμουν ποτὲ Κυβέλῳ, τὸ δέ ἐστι πολίχνιον οὐκ ἀηδές, ἄποικον, ὡς ἔχει λόγος, Ἀθηναίων ἐπηγόμην δὲ καὶ τὸ κράτιστον Ῥῶ, γειτόνων τὸ βέλτιστον· κατηγόμην δὲ παρὰ κωμῳδιῶν τινι ποιητῇ· Λυσίμαχος ἐκαλεῖτο, Βοιώτιος μέν, ὡς ἐφαίνετο, τὸ γένος ἀνέκαθεν, ἀπὸ μέσης δὲ ἀξιῶν λέγεσθαι τῆς Ἀττικῆς· παρὰ τούτῳ δὴ τῷ ξένῳ τὴν τοῦ Ταῦ τούτου πλεονεξίαν ἐφώρασα· μέχρι μὲν γὰρ ὀλίγοις ἐπεχείρει, τέτταρα κατατολμῶν καὶ τετταράκοντα λέγειν, ἔτι δὲ τήμερον καὶ τὰ ὅμοια ἐπισπώμενον

7 En una ocasión visitaba Cíbelo[13], que es una pequeña y hermosa ciudad fundada, según la tradición, por los atenienses. Llevaba conmigo a la fornida Rho, la mejor de mis vecinas, y me detuve en casa de un poeta cómico: se llamaba Lisímaco, y era de origen beocio[14] evidentemente, aun cuando pretendiera ser considerado ciudadano del corazón del Ática. En casa de ese extranjero fue donde me apercibí de la codicia de esa mísera Tau. Mientras atentaba contra pocas palabras, osando pronunciar «cuatro»[15] y «cuarenta»[16], y atacaba también a «hoy»[17] y palabras

[11] En los discursos forenses proliferan estas alabanzas al jurado.
[12] Es decir, las mudas u oclusivas. La sigma se considera semivocal y, por tanto, en el rango precedente.
[13] Ciudad frigia.
[14] Por su hábito de pronunciar *[tt]* en vez de [ss].
[15] *Téssara* / *téttara.*
[16] *tessarákonta* / *tettarákonta*
[17] *sémeron* / *témeron.*

ἴδια ταυτὶ λέγειν, ἀποστεροῦν με τῶν συγγεγενημένων καὶ συντεθραμμένων γραμμάτων, συνήθειαν ᾤμην καὶ οἰστὸν ἦν μοι τὸ ἄκουσμα καὶ οὐ πάνυ τι ἐδακνόμην ἐπ᾽ αὐτοῖς.

semejantes, pronunciándolas a su modo, aunque yo me veía privada de mis parientes y amigos, creía que se trataba de un hábito, y llegaba a soportar lo que oía, sin afectarme demasiado por ello.

8 ὁπότε δὲ ἐκ τούτων ἀρξάμενον ἐτόλμησε καττίτερον εἰπεῖν καὶ κάττυμα καὶ πίτταν, εἶτα ἀπερυθριᾶσαν καὶ βασίλισσαν βασίλιτταν ὀνομάζειν, οὐ μετρίως ἐπὶ τούτοις ἀγανακτῶ καὶ πίμπραμαι δεδιὸς μὴ τῷ χρόνῳ καὶ τὰ σῦκα τῦκά τις ὀνομάσῃ. καί μοι πρὸς Διὸς ἀθυμοῦντι καὶ μεμονωμένῳ τῶν βοηθησόντων σύγγνωτε τῆς δικαίας ὀργῆς· οὐ γὰρ περὶ μικρὰ καὶ τὰ τυχόντα ἐστὶν ὁ κίνδυνος, ἀφαιρουμένῳ τῶν συνήθων καὶ συνεσχολακότων μοι γραμμάτων. κίσσαν μου, λάλον ὄρνεον, ἐκ μέσων ὡς ἔπος εἰπεῖν τῶν κόλπων ἁρπάσαν κίτταν ὠνόμασεν· ἀφείλετο δέ μου φάσσαν ἅμα νήσσαις τε καὶ κοσσύφοις ἀπαγορεύοντος Ἀριστάρχου· περιέσπασε δὲ καὶ μελισσῶν οὐκ ὀλίγας· ἐπ᾽ Ἀττικὴν δὲ ἦλθε καὶ ἐκ μέσης αὐτῆς ἀνήρπασεν ἀνόμως Ὑμησσὸν ὁρώντων ὑμῶν καὶ τῶν ἄλλων συλλαβῶν.

8 Pero cuando, a partir de estos precedentes, osó pronunciar «estaño»[18], «cuero de zapato»[19] y «pez»[20], y más tarde sin rubor alguno llamaba *basílittta* a la «reina»[21], me hallaba sobremanera molesta por ello y ardía de temor, no llamase también alguno, andando el tiempo, *týka* a los higos[22]. Disculpadme en nombre de Zeus, descorazonada y carente de ayuda como me hallo, por mi justa cólera, pues no es leve ni pasajero el riesgo que corro, al ir siendo privada de mis palabras asiduas y compañeras. Arrancóme mi «urraca»[23], pájaro hablador, del regazo, por decirlo así, y le llamó *kítta;* también me arrebató mi «paloma torcaz»[24], con mis «patos»[25] y «mirlos»[26], pese a la prohibición de Aristarco; quitó también de mi alrededor no pocas «abejas»[27]. Vino al Ática y del corazón de ésta arrancó ilegalmente el «Himeso»[28] ante vuestra mirada y la de las otras letras.

9 ἀλλὰ τί λέγω ταῦτα; Θεσσαλίας με ἐξέβαλεν ὅλης Θετταλίαν ἀξιοῦν λέγειν, καὶ πᾶσαν ἀποκέκλεικέ μοι τὴν θάλασσαν οὐδὲ τῶν ἐν κήποις

9 Mas ¿para qué hacer mención de ello? Me expulsó de toda la «Tesalia», diciendo llamarla «Tetalia», y me ha aislado por entero del «mar»[29], sin privarse siquiera de las «acelgas»[30]

---

[18] *kassíteron / kattíteron.*
[19] *kássyma / káttyma.*
[20] *Píssa / pítta.*
[21] *basílissa.*
[22] *syka.*
[23] *kíssa.*
[24] *phássa / phátta.*
[25] 25 *néssai / nettai.*
[26] *kóssyphoi / kóttyphoi.*
[27] *mélissai / mélittai.*
[28] *Hyméssós / HymEttós.*
[29] *thálassa / thálatta.*
[30] *seútlia / teútlia.*

φεισάμενον σευτλίων, ὡς τὸ δὴ λεγόμενον μηδὲ πάσσαλόν μοι καταλιπεῖν. Ὅτι δὲ ἀνεξίκακόν εἰμι γράμμα, μαρτυρεῖτέ μοι καὶ αὐτοὶ μηδέποτε ἐγκαλέσαντι τῷ Ζῆτα σμάραγδον ἀποσπάσαντι καὶ πᾶσαν ἀφελομένῳ Σμύρναν, μηδὲ τῷ Ξῖ πᾶσαν παραβάντι συνθήκην καὶ τὸν συγγραφέα τῶν τοιούτων ἔχοντι Θουκυδίδην σύμμαχον· τῷ μὲν γὰρ γείτονί μου Ῥῶ νοσήσαντι συγγνώμη, καὶ παρ᾽ αὐτῷ φυτεύσαντί μου τὰς μυρρίνας καὶ παίσαντί μέ ποτε ὑπὸ μελαγχολίας ἐπὶ κόρρης. κἀγὼ μὲν τοιοῦτον.

de los «huertos»; de hecho, como suele decirse[31], «no me ha dejado ni un 'clavo'[32]». De mi condición de letra sufrida[33] vosotras mismas sois testigos, ya que jamás reproché a la Dseta que me arrebatara mi «esmeralda»[34] y se apoderara de toda «Esmirna»[35], ni a la Xi por haber transgredido todo «pacto»[36], teniendo al «historiador»[37] Tucídides como «aliado»[38]. Y cuando mi vecina Rho estuvo enferma la perdoné, tanto por plantar en su jardín mis «mirtos»[39] como por golpearme en la «sien»[40] en un rapto de locura: tal es mi condición.

10 τὸ δὲ Ταῦ τοῦτο σκοπῶμεν ὡς φύσει βίαιον καὶ πρὸς τὰ λοιπά. ὅτι δὲ οὐδὲ τῶν ἄλλων ἀπέσχετο γραμμάτων, ἀλλὰ καὶ τὸ Δέλτα καὶ τὸ Θῆτα καὶ τὸ Ζῆτα, μικροῦ δεῖν πάντα ἠδίκησε τὰ στοιχεῖα, αὐτά μοι κάλει τὰ ἀδικηθέντα γράμματα. ἀκούετε, Φωνήεντα δικασταί, τοῦ μὲν Δέλτα λέγοντος· ἀφείλετό μου τὴν ἐνδελέχειαν, ἐντελέχειαν ἀξιοῦν λέγεσθαι παρὰ πάντας τοὺς νόμους· τοῦ Θῆτα δακρύοντος καὶ τῆς κεφαλῆς τὰς τρίχας τίλλοντος ἐπὶ τῷ καὶ τῆς κολοκύνθης ἐστερῆσθαι· τοῦ Ζῆτα, τὸ συρίζειν καὶ σαλπίζειν, ὡς μηκέτ᾽ αὐτῷ ἐξεῖναι μηδὲ γρύζειν. τίς ἂν τούτων ἀνάσχοιτο; ἢ τίς

10 En cuanto a esa Tau, observemos cómo, de natural, es violenta también contra las demás. Para demostraros que, de las restantes, no ha respetado letra alguna, sino que ha abusado de la Delta, la Zeta, la Dseta y, prácticamente, de todo el alfabeto, llámame a las propias letras injuriadas.

Escuchad, Vocales del jurado, el testimonio[41] de la Delta: «Me privó de mi 'endelequia' [42], estimando que debía decirse 'entelequia', contra todas las leyes»; el de la Zeta, llorosa y mesando los cabellos por haber sido despojada de su «calabaza»[43]; y el de la Dseta, por haber perdido su «toque de flauta»[44] y «de trompeta»[45], y no serle posible ni «gruñir»[46]

---

[31] El refrán es usado en nuestros días.
[32] *pássalos / páttalos.*
[33] Tópico de los discursos judiciales; cf. LISIAS, *Defensa ante Simón 1* ss.; *Contra Eratóstenes* 4.
[34] *smáragdos / zmáragdos.*
[35] Pronunciado *Zmyrna.*
[36] *synthlkē / xynthetkē.*
[37] *syggrapheús / xyggrapheús.*
[38] *symmachos / xýmmachos.*
[39] *Myrsínai / myrrínai.*
[40] *kórselkórrē.*
[41] En los discursos judiciales se intercala el testimonio invocado.
[42] *endelécheia / entelécheia.*
[43] *kolokýnthélkolokýnté.*
[44] *syrízein / syríttein.*
[45] *salpízein / salpíttein.*
[46] *grýzein / grýttein.*

ἐξαρκέσειε δίκη πρὸς τὸ πονηρότατον τουτὶ Ταῦ;

siquiera. ¿Quién podría soportar todo esto? ¿Qué castigo sería suficiente contra esta perversísima Tau?

11 Τὸ δὲ ἄρα οὐ τὸ ὁμόφυλον τῶν στοιχείων μόνον ἀδικεῖ γένος, ἀλλ᾽ ἤδη καὶ πρὸς τὸ ἀνθρώπειον μεταβέβηκε τουτονὶ τὸν τρόπον· οὐ γὰρ ἐπιτρέπει γε αὐτοὺς κατ᾽ εὐθὺ φέρεσθαι ταῖς γλώσσαις· μᾶλλον δέ, ὦ δικασταί, μεταξὺ γάρ με πάλιν τὰ τῶν ἀνθρώπων πράγματα ἀνέμνησε περὶ τῆς γλώσσης, καὶ ταύτης με τὸ μέρος ἀπήλασε καὶ γλῶτταν ποιεῖ τὴν γλῶσσαν. ὦ γλώσσης ἀληθῶς νόσημα Ταῦ. ἀλλὰ μεταβήσομαι πάλιν ἐπ᾽ ἐκεῖνο καὶ τοῖς ἀνθρώποις συναγορεύσω ὑπὲρ ὧν εἰς αὐτοὺς πλημμελεῖ· δεσμοῖς γάρ τισι στρεβλοῦν καὶ σπαράττειν αὐτῶν τὴν φωνὴν ἐπιχειρεῖ. καὶ ὁ μέν τι καλὸν ἰδὼν καλὸν εἰπεῖν αὐτὸ βούλεται, τὸ δὲ παρεισπεσὸν ταλὸν εἰπεῖν αὐτοὺς ἀναγκάζει ἐν ἅπασι προεδρίαν ἔχειν ἀξιοῦν· πάλιν ἕτερος περὶ κλήματος διαλέγεται, τὸ δὲ τλῆμον γάρ ἐστιν ἀληθῶστλῆμα πεποίηκε τὸ κλῆμα. καὶ οὐ μόνον γε τοὺς τυχόντας ἀδικεῖ, ἀλλ᾽ ἤδη καὶ τῷ μεγάλῳ βασιλεῖ, ᾧ καὶ γῆν καὶ θάλασσαν εἶξαί φασι καὶ τῆς αὑτῶν φύσεως ἐκστῆναι, τὸ δὲ καὶ τούτῳ ἐπιβουλεύει καὶ Κῦρον αὐτὸν ὄντα Τῦρόν τινα ἀπέφηνεν.

11 En consecuencia, no sólo falta contra su propio linaje del alfabeto, sino que también ha atentado contra el hombre de este modo, pues les impide un uso correcto de su lengua. Es más, jueces —pues la mención de los hombres me ha recordado la «lengua»—, también me ha privado de ese miembro, y convierte en *glótta* la *glóssa.* ¡Oh Tau, auténtico azote de la lengua! Mas paso de nuevo a mi acusación y a advertir a los hombres de cómo da contra ellos la nota discordante, pues intenta con lazos oprimir y desgarrar su idioma: a quien vea algo «hermoso»[47] y desee expresarlo lo asaltará para obligarle a decir *talón,* pretendiendo ostentar la primacía en todo. De nuevo, otro habla de un «sarmiento»[48], pero ella —que es en verdad «osada»[49]— ha convertido el «sarmiento» en «osadía»[50]. Y no sólo falta contra los hombres comunes, sino contra el Gran Rey, ante cuya presencia dicen que la tierra y el mar se apartaron y cedieron lo que les era propio: ella, en cambio, atenta también contra él, y ha convertido al mismísimo «Ciro» en un «queso»[51].

12 Οὕτω μὲν οὖν ὅσον ἐς φωνὴν ἀνθρώπους ἀδικεῖ· ἔργῳ δὲ πῶς; κλάουσιν ἄνθρωποι καὶ τὴν αὑτῶν τύχην ὀδύρονται καὶ Κάδμῳ καταρῶνται πολλάκις, ὅτι τὸ Ταῦ ἐς τὸ τῶν στοιχείων γένος παρήγαγε· τῷ γὰρ τούτου σώματί

12 Injurias lingüísticas de ese calibre comete contra los hombres. Y de delitos de acción, ¿qué? Lloran los hombres, se lamentan de su suerte y maldicen a Cadmo una y otra vez por haber incluido la Tau en la familia del alfabeto, pues afirman que los tiranos se inspiraron en

---

[47] *kalón.*

[48] *klēma.*

[49] *tlēmon.*

[50] *tlēma.*

[51] Formas no exactamente coincidentes por el acento: «queso» *(tyrós)* es oxítona, y el equivalente con *tau* de *Kyros* (*Tyros* = Ciro, rey de los persas) tiene acento properispómeno. En todo caso, la homofonía es evidente.

φασι τοὺς τυράννους ἀκολουθήσαντας καὶ μιμησαμένους αὐτοῦ τὸ πλάσμα ἔπειτα σχήματι τοιούτῳ ξύλα τεκτήναντας ἀνθρώπους ἀνασκολοπίζειν ἐπ᾽ αὐτά· ἀπὸ δὲ τούτου καὶ τῷ τεχνήματι τῷ πονηρῷ τὴν πονηρὰν ἐπωνυμίαν συνελθεῖν. τούτων οὖν ἁπάντων ἕνεκα πόσων θανάτων τὸ Ταῦ ἄξιον εἶναι νομίζετε; ἐγὼ μὲν γὰρ οἶμαι δικαίως τοῦτο μόνον ἐς τὴν τοῦ Ταῦ τιμωρίαν ὑπολείπεσθαι, τὸ τῷ σχήματι τῷ αὐτοῦ τὴν δίκην ὑποσχεῖν.

su forma e imitaron su figura para construir maderos de forma análoga y crucificar hombres en ellos; y de ahí recibe este maldito invento su maldita denominación[52].

Por todos esos crímenes, ¿cuántas penas de muerte estimáis que merece la Tau? Por mi parte, estimo de justicia reservar este único castigo a la Tau: que sea ejecutada sobre su propia forma[53], ya que la cruz llegó a tallarse por ella, y así es llamada por los hombres.

[52] *Staurós* «cruz».

[53] Lo que sigue hasta el final del texto fue secluido como glosa por Sommerbrodt.